Digitized by Google

6
41-h
2

6
27 M
13

6-41-h-2

Hier. Aleandri

6-41-h-2

Digitized by Google

THEMISTOCLIS
EPISTOLAE
Ex Vetuſto Codice Bibliothecæ Vaticanæ nunc primum erutæ, & Latinitate donatæ.


BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Interprete

IO. MATTHAEO CARYOPHILO

Archiepiſcopo Iconienſi.

Biblioth. PP. Scholar. Piarum S. Pantaleonis ex [illegible]



ROMÆ,
Apud Ludouicum Grignanum. MDCXXVI.
SVPERIORVM PERMISSV.

Imprimatur,
Si videbitur Reuerendiſſ. P. Mag. S. P.

A. Epiſcopus Hieracen. Viceſg.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Petente Reuerendiſsimo Sacri Palatij Apoſtolici Magiſtro haſce Themiſtoclis Epiſtolas diu deſideratas legi, neq; in ijs quicquam reperi, quominus veteris hiſtoriæ, ac rei litterariæ bono edi in lucem debeant.

H. Aleander.

Imprimatur,
Fr. Nicolaus Rodulfius Sacri Palatij Apoſt. Mag. Ordin. Præd.

Digitized by Google

ΤΩι ΜΑΚΑΡΙΩΤΑΤΩι ΠΑΤΡΙ

ΚΑΙ ΜΕΓΙΣΤΩι ΑΡΧΙΕΡΕΙ

ΟΥΡΒΑΝΩι

ΤΩι ΟΓΔΟΩι

ΕΙΜΑΡΤΟ ἄρα Θεμιστοκλεῖ δὶς ἀπολέσθαι, ἵνα μὴ καθάπαξ ἀπόληται. ἀλλὰ πάλαι μὲν ἀπολωλὼς βαρβάρῳ προσέφυγεν βασιλεῖ, καὶ στολὴν ἠμείψατο τὴν ἑλληνικὴν, καὶ τῇ περσῶν ἐχρῆτο φωνῇ. καθ' ὃ τῆς δυστυχίας θεραπευθείσης ἀπολωλὼς οὐκ ἀπολώλειν. Δεύτερον δὲ ἀπολωλὼς, καὶ ἀμύθητον χρόνον ἐν σκότῳ λαθὼν οὐκ ἀπόλωλεν, εἰς φῶς ἀνακύψας ἐπὶ σοῦ μακαριώτατε πάτερ. λαμπρότερος γὰρ καὶ τερπνότερος ἀναφαίνεται, καὶ στολὴν οὐ μεταβάλλει τὴν πάτριον, καὶ φωνῇ κέχρηται τῇ ἑαυτοῦ. καὶ ἐμφανίζεται οὐχὶ βασιλεῖ βασιλέων Ἀρταξέρξῃ, ἀλλ' ΟΥΡΒΑΝΩι ἀρχιερέων ἀρχιερεῖ. Κἀκείνῳ μὲν αὐτὸς ὑπισχνεῖτο ὑποκεινόμενος καταδουλώσειν τὴν ἑλλάδα· σοὶ δὲ προσπίπτων ἱκέτης βοᾷ καταδουλωθεῖσαν ἐπανακτήσασθαι. ὥστε σε καὶ μουσηγέτην εἶναι καθ' ἡμᾶς τῆς ἑλληνικῆς φιλολογίας, καὶ τὸ σωτήριον ἱερὸν καὶ τῆς ἀφορήτου γραικοδουλείας. ἔστι δὲ κἀκεῖνο διάφορον. ὅτε μὲν γὰρ Θεμιστοκλῆς δῶρον ἀνάγκης ἑαυτὸν τῷ βασιλεῖ προσενήνοχε· νυνὶ δὲ βασιλέας προσπεπλησμένους τὸ διάδημα μὲν ἐπιφθέγγεται Θεμιστοκλῆς ἐγὼ πάλαι βαρβαρίσας τῇ φωνῇ ἐπεσπασάμην τὴν βασιλικὴν εὔνοιαν. ὀψὲ δὲ περὶ ΟΥΡΒΑΝΟΝ ἥκω τοσοῦτον εὐδαιμονέστερος, ὅσον ἐστὶν ἀττικίζοντι συνευφημοῦσθαι ἀρχιερεῖ, καὶ φιλανθρωπίας ἴυγξιν ἕλκεσθαι δῶρον αὐτόκλητον, καὶ μεγαλοπρεπείας ἀρχιερατικῆς καλλίστοις δωρήμασι θάλπεσθαι.

τῆς ὑμετέρας μακαριότητος
δοῦλος ὁ ταπεινὸς Ἰκονίας.

BEATISS. PATRI
VRBANO VIII.
PONT. MAX.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

FATALE fuit Themiſtocli bis perire, ne omnino periret. Sed quando olim perijt, ad barbarum Regem confugit, græcum mutauit habitum, & Perſarum lingua vtebatur. Ita enim ſuam leuando fortunam, cum etiã perijſſet, non perijt. At cum ſecundo perijt, & per tot ſecula in tenebris iacuit, idcirco non perijt, quòd te Pontifice in lucem emerſit Pater Beatiſsime. Nam & illuſtrior apparet & hilarior, ſuo græcanico habitu, ſua ipſe lingua facundior. Nec offert ſe Regi Regum Artaxerxi, ſed VRBANO Epiſcoporum Epiſcopo. Illi ſimulans promittebat ſubiugaturum ſe Græciam; tibi proſtratus ſupplicat, vt miſeram priſtinæ libertati reſtituas. Ex quo te illa noſtris temporibus & ſuarum principem muſarum colat, & è profligatiſsimo ſtatu eruta glorioſum libertatis vindicem agnoſcat. illud etiam plurimum differt: quòd olim Themiſtocles neceſsitatis donum Regi ſe obtulit; nũc poſthabitis Regibus, qui eum ad ſe accerſebant, apertè ait. Ego regiam mihi olim conciliaui beneuolentiam, quia linguam addidici barbaram. Iam vero ad VRBANVM Pontificem tanto fœlicior venio, quanto eſt excellentius ſimilem eſſe tantæ maieſtati atticiſſanti, & benignitatis illecebris attrahi donum vltro oblatum, & Pontificalis magnificentiæ quam decentiſsimis muneribus honeſtari.

Sanctitatis Tuæ humilis ſeruus

Io. Matthæus Caryophilus Archiep. Iconienſis.

Θεμιστοκλῆς πέφευγε πατρίδος φθόνον,
Καὶ μητρὸς εὗρε σπλάγχνα γῆς ἐπὶ ξένης·
Πέφευγεν ἀγνώς, κοὐ φίλους εὗρεν φίλους.
Πέφευγε γυμνὸς, καὶ τρυφὴν εὗρεν νέην·
Καὶ νῦν δὲ μοῖραν εὗρεν εὐτυχεστάτην,
Οὐρβανὸν εὗρεν ἀτθίδος σοφώτερον,
Φίλων τε κεδνῶν ἄνδρα συμπαθέστερον,
Καὶ δωρεαῖσι Ξέρξεω φαάντερον.

Digitized by Google

THEMISTOCLIS EPISTOLAE

Argumentum I. Epiſtolæ.

NARRAT Themiſtocles, vt mulctatus oſtraciſmo, & patria egreſſus Delphos cogitaret: Verum Argiuis quibuſdam amicis ſorte obuiam ſe offerentibus, & enixè rogantibus, Argos ſe contulerit, vrbem amicam, & quæ olim Neocli eius patri hoſpitium diu fuerit. Sed oblatos ab Argiuis honores, & adminiſtrationem illius Reip. nolle ſe ait. De commoratione Themiſtoclis apud Argos, & fuga, & rebus ab eo geſtis meminere Thucydides lib. 1. Diodorus lib. 11. Plutarchus in Themiſtocle. Ceterum illi breuitate hiſtorica rem attingunt: Themiſtocles ad familiares ſcribendo, & lineamenta quædam addendo multam hiſtorijs lucem affert. Ex quo perſpicuum videtur, germanas eſſe, non confictas à poſteriore quopiam haſce epiſtolas. nam & helleniſmi antiquitatem redolent, & non fucatum atticiſmum; taliſq. in eis ſtyli grauitas, & expreſſa magnitudo animi, quale eius ingenium deſcribit Thucydides, acre, excellens, acutum ad excogitandum, vberrimum ad explicandum, fœcundiſſimum & facundiſſimum. Aeſchylus videtur poeta ille tragicus, ad cuius fratrem Aminiam infra extat epiſtola.

Θεμιστοκλῆς Αἰσχύλῳ.

Ἀπερχόμενοι μὲν εἰς Δελφοὺς καταίρειν διεγνώκειμεν, ὡς ἐν Δελφοῖς ἐφ' ὅσον δοκεῖ ἀθηναίοις βιωσόμενοι. καθ' ὁδὸν δὲ τῶν ἐξ ἄργους μοι ξένων ἐντυγχάνουσι Νικίας καὶ Μελέαγρος, ὅ, τε οὐ πρὸ πολλοῦ ἀθήνησι διατρίψας Εὐκράτης. Καὶ περιστάντες ὡς ᾔσθοντο πυνθανόμενοι τοῦ ἐξοστρακισμοῦ, ἠχθέσθησαν μὲν εὐθύς, καὶ πολλὰ ἀθηναίοις ἐνεκάλουν. ἐπεὶ δὲ ἔγνωσαν, ὅτι εἰς δελ-

φοὺς

Themiſtocles Æſchylo.

Abeuntes quidē Delphos proficiſci cogitaueramus, vt vitam illic trāſigeremus quoad placeret Athenienſibus. Sed in itinere obuiam ſe obtulerunt Argiui iure hoſpitalis amicitiæ mihi coniuncti Nicias & Meleager, & qui non multo ante verſabatur Athenis Eucrates. ij me circūſiſtentes de via interrogabant; atq; vt oſtraciſmo fugientem acceperūt, ſtatim quidem ægrè tulerunt, & Athenienſes vehementer incuſabant. Vbi

vero

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

φὰς ὡρμημένας καταίρειν, παυσάμενοι τοῖς ἀθηναίοις ἐγκαλεῖν, ἐμὲ ἐκάκιζον. καὶ ἠτιμᾶσθαι μὲν ἑαυτοὺς ἔφασκον, εἰ μὴ ἐπιτήδειοι ὑπελήφθησαν αὐτοὶ τὸ ἀτύχημα ἡμῶν ἐκδέξασθαι. ἐμαρτύραντο δὲ Νεοκλέα τὸν ἐμέτερον πατέρα, ὡς ἐπὶ πλεῖστον βιώσειεν ἐν ἄργει· ἐγὼ δὲ ἀμελῶ ἐμαυτοῦ ἀγαπήσαντος ἄργος τε καὶ τοὺς ἐν ἄργει φίλους. οὐ μακρὰν δὲ ἦσαν καὶ ἐπαινεῖν ἀθηναίους, ὡς δίκαια τινόντων ἡμῶν. τελευτῶντες δὲ ἐδέοντο μὴ σφᾶς κατακρίνεσθαι " τῆς εὐτυχίας μόνον τῆς ἡμετέρας αἰτίους γεγονέναι, μηδὲ ὑβρίσαι αὐτοὺς τὸ εὐτύχημα τῆς ἀπαντήσεως· Νεοκλέα τε πάλιν " προσφέροντες, καὶ ὡς ἄξιον εἴη πόλει τε τῇ αὐτῇ τῷ πατρὶ καὶ οἴκῳ " ἀνιβιῶναι. ὥστε ἀπῆγον ἡμᾶς ἔχοντες εἰς ἄργος αἰσχύλε. Καὶ νῦν ἐν ἄργει τὴν " φύσιν ἀνεπαύσαμεν. Καὶ πολλὰ πάσχομεν " οὔτε ἄρχειν βουλόμενοι ἀργείων. ἀναγκάζουσι γὰρ ὡς ἀδικούμενοι, ἢν μὴ ἄρχωμεν. ἡμῖν δὲ ἀρέσκει " μή τε μεγάλοις εἶναι δοκεῖν· οὐ μόνον ὅτι ἔβλαψαν ἡμᾶς ταῦτα, ἀλλὰ καὶ ὅτι ἀρκεῖ αὐτὸν ἐν δέοντι ἀπολελαυκέναι.

" ἴσ. τῷ τῆς εὐτ. μόνους τῆς ἡμ. αἰτίους μὴ γεγ.

" ἴσ. προφέροντες.

" ἴσ. ἐμβιῶναι.

" ἴσ. τὴν φυγὴν

" ἴσ. οὔτε πολιτεύεσθαι, οὔτε ἀρχ

" ἴσ. μήτε ἄρχειν, μήτε μ.

vero me Delphos tendere cōgnouerunt, poſthabita incuſatione Athenienſium me obiurgabant. & ſe quidem aiebāt deſpectui habitos, quos minus idoneos iudicauerim ad calamitatem meam ſubleuādam: & proferebant parentem noſtrū Neoclem, qui longo tempore Argis vitam traduxerit, me vero nullam mei rationem habere, qui Argos & Argi ciues amarem. nec longè aberant à laudandis etiam Athenienſibus, quibus ipſe iuſtas luerem pœnas. Ad extremum ſummis agebant precibus ne cōmitterem, vt ſibi culpæ daretur, ſolos non fuiſſe nobis proſperæ fortunæ auctores; nec afficerem iniuria quod ſibi ſucceſſit, vt in nos inciderint; de Neocle rurſus mentionem facientes; dignumq; aſſerentes, vt in vrbe ac domo quam pater incoluit, & ipſe degam. Itaque deducti fuimus Argos. & nunc Aeſchyle in hac vrbe fugę noſtrę terminū ſtatuimus; & multa patimur, quòd Remp. adminiſtrare, aut præeſſe nolumus: cogunt enim nos, pati ſe iniuriam exiſtimantes, ni magiſtratu fungamur. At nobis nec præeſſe libet, nec magnos videri, non eo tantum nomine quod hæc nocuere; ſed quia iam ſatis nobis, quādo res tulit, ijs perfrui licuit.

Θε- Ar-

Argumentum II. Epiſtolæ.

ADmonet Pauſaniã Lacedæmoniorum ducẽ de ſuo Oſtraciſmo, dum ille adhuc potentia floreret & opibus. Quare timendum, inquit, eſſe illi, ne in ſimilem fortunam deueniat. Quod etiam euenit. extat infra altera ad eundem Pauſaniam epiſtola, & ad Alcetam de infelici rerum eiuſdem exitu. De hoc Thucyd. Plutarchus, & Diodorus locis citatis. Ceterum ex his epiſtolis non modo nulli ſuſpicioni affinis communicati cum Pauſania conſilij de prodenda Græcia dignoſcitur Themiſtocles, ſed ſumma vir innocentia & integritate perſpicitur; vtpote qui & præmonuerit Pauſaniam, & ab incœpto deterruerit, & iuſto demum ſupplicio affectum pronuntiauerit.

Themiſtocles Pauſaniæ.

EIecti ſumus Oſtraciſmo ab Athenienſibus Pauſania; & nunc Argos habitamus, ne quid incõmodi per nos patiantur Athenienſes; paſſuri enim videbãtur. Quare nulla ego interpoſita mora, neque enim interponi licebat, Athenis exceſſi, & metu eos liberaui. Argiui verò nos ſupra conditionẽ exulum tractant; proq. beneficijs, quibus Atheniẽſes affecti ſunt, ipſi gratiã referre volunt. Quare nos præeſſe rurſus exercitibus iubent, & vniuerſæ ciuitatis eorum ſuſcipere gubernacula. nec modicum peccant, non permittendo nobis exulare, vt voluere Athenienſes. Me verò & pudor tenet, ne ſtudia eorũ minus honorem; & multò magis

Θεμιστοκλῆς Παυσανίᾳ.

Ἐξωστρακίσμεθα ὦ Παυσανία ὑπ᾽ ἀθηναίων. καὶ νῦν ἐν ἄργει ἐσμὲν, ὡς μή τι κακὸν ὑφ᾽ ἡμῶν ἀθηναῖοι πάθοιεν· ἔδοξαν γὰρ ὅτι πείσονται. Καὶ οὐδὲν ἔτι μέλλων ἐγὼ, ὥσπερ οὐδὲ ἐξῆν ἔτι μέλλειν, μετέστην ἐξ ἀθηνῶν, καὶ ἀπέλυσα αὐτοὺς τοῦ φόβου. ἀργεῖοι δὲ πλεῖον ἢ κατὰ φυγάδας προσφέρονται ἡμῖν. καὶ ὧν ἀθηναῖοι εὖ ἔπαθον, οὗτοι ἀμείβεσθαι θέλουσιν. ὥστε καὶ στρατηγίας ἀξιοῦσιν ἡμᾶς ἀναλαμβάνειν, καὶ ἐπιστάτας ὅλου ἄργους γίνεσθαι. Καὶ οὐ μικρὰ ἀδικοῦσιν οὐκ ἐῶντες ἡμᾶς εἶναι φυγάδας, ὡς ἠθέλησαν ἀθηναῖοι. Ἐγὼ δὲ καὶ ἀτιμάζειν αὐτῶν τὴν προθυμίαν αἰδοῦμαι, καὶ ἔτι μᾶλλον

φὰς ὥρμημαι καταίρειν, παυσάμενοι τοῖς ἀθηναίοις ἐγκαλεῖν, ἐμὲ ἐκάκιζον. καὶ ἠτιμᾶσθαι μὲν ἑαυτοὺς ἔφασκον, εἰ μὴ ἐπιτήδειοι ὑπελήφθησαν αὐτοὶ τὸ ἀτύχημα ἡμῶν ἐκδέξασθαι. ἐμαρτύραντο δὲ Νεοκλέα τὸν ἐμέτερον πατέρα, ὡς ἐπὶ πλεῖστον βιώσειεν ἐν ἄργει· ἐγὼ δὲ ἀμελῶ ἐμαυτοῦ ἀγαπήσαντος ἄργος τε καὶ τοὺς ἐν ἄργει φίλους. οὐ μακρὰν δὲ ἦσαν καὶ ἐπαινεῖν ἀθηναίους, ὡς δίκαια τινόντων ἡμῶν. τελευτῶντες δὲ ἐδέοντο μὴ σφᾶς κατακρίνεσθαι " τῆς εὐτυχίας μόνον τὸ ἡμετέρας αἰτίους γεγονέναι, μηδὲ ὑβρίσαι αὐτοὺς τὸ ἀτύχημα τῆς ἀπαντήσεως· Νεοκλέα τε πάλιν " προσφέροντες, καὶ ὡς ἄξιον εἴη πόλει τε τῇ αὐτῇ τῷ πατρὶ καὶ οἴκῳ " ἀνιβιῶναι. ὥστε ἀπῆγον ἡμᾶς ἔχοντες εἰς ἄργος αἰσχύλε. Καὶ νῦν ἐν ἄργει τὴν " φύσιν ἀνεπαύσαμεν. Καὶ πολλὰ πάσχομεν " οὔτε ἄρχειν βουλόμενοι ἀργείων. ἀναγκάζουσι γὰρ ὡς ἀδικούμενοι, ἢν μὴ ἄρχωμεν. ἡμῖν δὲ ἀρέσκει " μήτε μεγάλοις εἶναι δοκεῖν· οὐ μόνον ὅτι ἔβλαψαν ἡμᾶς ταῦτα, ἀλλὰ καὶ ὅτι ἀρκεῖ αὐτῶν ἐν δέοντι ἀπολελαυκέναι.

" ἴσ. τὸ τῆς εὐτ. μόνους τῆς ἡμ. αἰτίους μὴ γεγ.

" ἴσ. προσφέροντες.

" ἴσ. ἐμβιῶναι.

" ἴσ. τὴν φυγὴν

" ἴσ. οὔτε πολιτεύεσθαι, οὔτε ἀρχ

" ἴσ. μήτε ἄρχειν, μήτε μ.

vero me Delphos tendere cōgnouerunt, poſthabita incuſatione Athenienſium me obiurgabant. & ſe quidem aiebāt deſpectui habitos, quos minus idoneos iudicauerim ad calamitatem meam ſubleuādam: & proferebant parentem noſtrū Neoclem, qui longo tempore Argis vitam traduxerit. me vero nullam mei rationem habere, qui Argos & Argi ciues amarem. nec longè aberant à laudandis etiam Athenienſibus, quibus ipſe iuſtas luerem pœnas. Ad extremum ſummis agebant precibus ne cōmitterem, vt ſibi culpæ daretur, ſolos non fuiſſe nobis proſperæ fortunæ auctores; nec afficerem iniuria quod ſibi ſucceſſit, vt in nos inciderint; de Neocle rurſus mentionem facientes; dignumq; aſſerentes, vt in vrbe ac domo quam pater incoluit, & ipſe degam. Itaque deducti fuimus Argos. & nunc Aeſchyle in hac vrbe fugę noſtrę terminū ſtatuimus; & multa patimur, quòd Remp. adminiſtrare, aut præeſse nolumus: cogunt enim nos, pati ſe iniuriam exiſtimantes, ni magiſtratu fungamur. At nobis nec præeſse libet, nec magnos videri, non eo tantum nomine quod hæç nocuere; ſed quia iam ſatis nobis, quādo res tulit, ijs perfrui licuit.

Θε- Ar-

Argumentum II. Epiſtolæ.

ADmonet Pauſaniā Lacedæmoniorum ducē de ſuo Oſtraciſmo, dum ille adhuc potentia floreret & opibus. Quare timendum, inquit, eſſe illi, ne in ſimilem fortunam deueniat. Quod etiam euenit. extat infra altera ad eundem Pauſaniam epiſtola, & ad Alcetam de infelici rerum eiuſdem exitu. De hoc Thucyd. Plutarchus, & Diodorus locis citatis. Ceterum ex his epiſtolis non modo nulli ſuſpicioni affinis communicati cum Pauſania conſilij de prodeuda Græcia dignoſcitur Themiſtocles, ſed ſumma vir innocentia & integritate perſpicitur; vtpote qui & præmonuerit Pauſaniam, & ab incœpto deterruerit, & iuſto demum ſupplicio affectum pronuntiauerit.

Themiſtocles Pauſaniæ.

EIecti ſumus Oſtraciſmo ab Athenienſibus Pauſania; & nunc Argos habitamus, ne quid incōmodi per nos patiantur Athenienſes; paſſuri enim videbātur. Quare nulla ego interpoſita mora, neque enim interponi licebat, Athenis exceſſi, & metu eos liberaui. Argiui verò nos ſupra conditionē exulum tractant; proq. beneficijs, quibus Atheniēſes affecti ſunt, ipſi gratiā referre volunt. Quare nos præeſſe rurſus exercitibus iubent, & vniuerſæ ciuitatis eorum ſuſcipere gubernacula. nec modicum peccant, non permittendo nobis exulare, vt voluere Athenienſes. Me verò & pudor tenet, ne ſtudia eorū minus honorem; & multò magis

Θεμιστοκλῆς Παυσανίᾳ.

Ἐξωστρακίσμεθα ὦ Παυσανία ὑπ' ἀθηναίων. καὶ νῦν ἐν ἄργει ἐσμὲν, ὡς μή τι κακὸν ὑφ' ἡμῶν ἀθηναῖοι πάθοιεν· ἔδοξαν γὰρ ὅτι πείσονται. Καὶ οὐδὲν ἔτι μέλλων ἐγὼ. ὥσπερ οὐδὲ ἐξῆν ἔτι μέλλειν, μετέστην ἐξ ἀθηνῶν, καὶ ἀπέλυσα αὐτοὺς τοῦ φόβου. ἀργεῖοι δὲ πλεῖον ἢ κατὰ φυγάδας προσφέρονται ἡμῖν. καὶ ὧν ἀθηναῖοι εὖ ἔπαθον, οὗτοι ἀμείβεσθαι θέλουσιν. ὥστε καὶ στρατηγίας ἀξιοῦσιν ἡμᾶς ἀναλαμβάνειν, καὶ ἐπιστάτας ὅλου ἀρχῆς γενέσθαι. Καὶ οὐ μικρὰ ἀδικοῦσιν οὐκ ἐῶντες ἡμᾶς εἶναι φυγάδας, ὡς ἠθέλησαν ἀθηναῖοι. Ἐγὼ δὲ καὶ ἀτιμάζειν αὐτῶν τὴν προθυμίαν αἰδοῦμαι, καὶ ἔτι μᾶλλον

λον λαβεῖν ἃ διδόασιν οὐχ ὑπομένω· ἦ γὰρ ἂν τὰ τοιαῦτα ἐγὼ διώκων εἰκότως ἂν καὶ ἐξωστρακίσθαι δοκοίην· καταγνώσεώς τε ἐγγὺς εἶναι, μετασταθέντα με ὑπὸ Ἀθηναίων ὡς ἀρχὴν ὀρεγόμενον, ἐξ Ἄργους φεύγειν, ὅτι ἄρχειν ἀναγκάζομαι. ἀλλ' ἐμοὶ μὲν ὦ Παυσανία κουφότατον, εἰ κρείσσω παραιτήσεως τὴν συνήθη ποιεῖ τις ‖ μεταβαίνη εἰς ἄλλην πόλιν διάγειν· ὡς ὅπη ἂν φύγοιμι, πάντη μοι φυλάσσεται ἴσον τὸ μὴ ἐν ‖ Ἀθηναίοις εἶναι. σοὶ δὲ οὐκ οἶδα ἐπὶ μέγα προχωροῦντι, μὴ νῦν μάλιστα συναχθεσθῆναι δέῃ, καὶ δεδιέναι περὶ σοῦ. αὐτοῦ τε γὰρ Ἑλλησπόντου σε ἅπαντος ἄχρι Βοσπόρου σχεδὸν ἄρχειν ἀκούω, πειρᾶσθαι δέ σε καὶ τοῦ Ἰωνικοῦ, καὶ πολὺ ἤδη καὶ παρὰ βασιλεῖ τὸ σὸν ἀκούεσθαι ὄνομα. ὥστε οἱ τὰ βέλτιστα εὐχόμενοι περὶ σοῦ πολύ σε βουλοίμεθα ἂν τῶν νῦν ἐλάσσονα εἶναι. Καὶ σὺ δὲ ὦ Παυσανία ἄνες τῆς εὐτυχίας· καὶ μὴ ἀγνόει, ὅτι ἀτεχνῶς ὦ Παυσανία τοῖς ἀνθρώποις τὰ ἀτυχήματα τρέφουσιν αἱ εὐπραγίαι. Καὶ τοῦτο ἐν πᾶσι μὲν ἀεὶ νενίκηκε ταύτῃ ἔχειν, μάλιστα δὲ τοῖς ὑπονόμοις τε καὶ δήμοις χρωμένοις. δοῦλοι γὰρ τοῦ πλήθους ὄντες ὦ Παυσανία ἀρχὴν λαμβάνο-

‖ ἴσ. τὸ μεταβάντι

‖ ἴσ. ἐν Ἀθήναις

gis abhorret animus ab accipiendis ijs, quæ dantur. Viderer planè in exilium merito eiectus, ſi his capeſſendis inhiarem; & ferè damnatione dignus, ſi depulſus ab Athenienſibus quaſi dominandi auidus, fugiam Argos, quia dominari cogor. Cæterum mihi quidem Pauſania nullum exhibet negotium, ſi abnuenti voluntati præferam ſtudiũ, quandoquidem migratione facta in aliena ciuitate viuo: & quocũque aufugero, æquè illud vbiuis obtineo, non eſſe Athenis. Tuam verò vicem neſcio, an dolere nunc potiſſimum nõ debeamus, ac timere de te, qui magnos facias progreſſus. Audio enim te totius Helleſponti penè vſque Boſphorum potiri; quin & Ioniam aggredi;& magni te iam nominis eſſe apud Regem Perſarum. Quare qui tibi maxime cupimus, vellemus te ſtatu eſſe inferiori. Tu quoque Pauſania proſperitati moderare: ſcitoque ſecundas res hominibus alere prorſus infortunia. Quod cũ omnes plane ſemper experiuntur, tum maxime qui popularibus ſubiacent legibus. Nam famulando plebi magiſtratum accipimus;

pimus; & adeptos magiſtratum exagitat eorum inuidia, qui dederunt. Deinde non in eum nos locum reſtituunt, quo ante magiſtratum eramus; ſed poteſtatis nimirum ſuæ periculum facientes, tempeſtatemq. à fortuna coortam ſimul excitãtes, immortalibus exilijs ſuos duces diſperdunt. Quamobrem qui bene agere in ciuitate vult, ab hoc maximè cauere debet. Conſule ergo tibi Pauſania, ne à præſenti ſtatu magna te mutatio excipiat. Nos enim, vt nunc nos habemus, proſperam fortunam non amplius aſſectabimur.

βάνομεν, ἄρχοντες δὲ τοῖς δῆσιν ἐπίφθονοι γινόμεθα. ἔπειτα οὐκ ἐπὶ τὴν αὐτὴν ἡμᾶς ἀπολύουσι χώραν, ἐν ᾗ καὶ πρὶν ἀρχὴν ἦμεν. ἀλλὰ δοκιμάζοντες ἄρα τὴν ἑαυτῶν ἐξουσίαν, καὶ συλλαμβανόμενοι τοῦ σάλου τῆς τύχης, εἰς φυγὰς ἀθανάτους καταλύουσι τοὺς ἄρχοντας. Καὶ δεῖ ἄρα ἐν πόλει τοὺς εὖ πράττειν θέλοντας τούτου αὐτοῦ φείδεσθαι μάλιστα. Σκόπει οὖν ὦ Παυσανία, ὅπως ἥκιστα ἐκ τῶν παρόντων μεγάλη σε δέξεται μεταβολή. Ἡμεῖς μὲν γὰρ ὧδε ἔχοντες οὐκέτι τὴν εὐτυχίαν διώξομεν.

Argumentum III. Epiſtolæ.

AMico ſuo Polygnoto Themiſtocles, ad quem tres epiſtolas ſcribit, animi ſui fluctuationem exponit; putabat enim ſe fortiorem eſſe ad ſufferenda exilij mala. Verum quicquid occurrebat ad præbendum ſolatium, perſpecta, inquit, charisſimorum ſolitudine, impotentiorem reddebat. Poſtremo vt ad ſe veniat, multos dolores amici depulſurus, inuitat.

Themiſtocles Polygnoto S.

CErtè tu Polygnote noſtras pugnas nauales, & claſſis imperium tecum reputans, noſtram quoque è patria diſceſſionem forti nos animo ferre exiſtimas. Nos verò abeuntes quidem, cum ob oculos erant

Θεμιστοκλῆς Πολυγνώτῳ χαίρειν.

ΗΠου σύ γε ὦ Πολύγνωτε τὰς ναυμαχίας ἡμῶν καὶ τὰς στρατηγίας ἐννοούμενος αἰκμῇ καὶ τὴν ἐκ τῆς πατρίδος μετάστασιν ἡμᾶς γενναίως φέρειν. ἡμεῖς δὲ ἀπάντες μὲν, ὅτε καὶ ἐν ὀφθ

εἰχόμεθα τὰ καταλειπόμενα, θεασάμενοι ¹ αὐτοῖς ἐπηγγελλόμεθα καρτερήσειν τὴν ἀπουσίαν· καὶ αὐτοὶ τὰς ναυμαχίας ἐννοούμενοι, καὶ ὅσα ἄλλα ὑπεμείναμεν ὅμοια, ᾠόμεθα ὑπὸ γυναικότητος καὶ ταῦτα διενεγκεῖν. Καὶ οἶδας ὅτι οὐκ ἄγαν ὀδυρόμενοι μεθιστάμεθα. Νυνὶ δὲ ἡμῖν ὁ χρόνος ὦ Πολύγνωτε, οὐ λήθην ὧν ἀπολείπομεν παρέχει, οὐδὲ συνήθειαν τῆς φυγῆς· ἀλλ' ἡ μὲν φυγὴ κούφη ἂν ἦν μὴ μακρὰ οὖσα· τὰ δ' ἀπολειφθέντα ἔτι ποθεινότερα ὑπὸ τοῦ χρόνου γίνεται. Καὶ οὐ παραμυθία τίς ἐστιν, ὅτι πολλὰ καὶ ἄλλα γενναίως ὑπέμεινα ἐγὼ μαχόμενος τοῖς βαρβάροις, καὶ κινδυνεύων· ἀλλ' ὑπὸ τοῦ λογισμοῦ καὶ ταῦτα ἐναντία γίνεται. Δοκῶ γὰρ δὴ καρτερῆσαι καὶ ταῦτα, ὅπως μοι παρῇ ἀπολαύειν ἀθηνῶν. Καὶ ὑπὸ τούτου μᾶλλον ὦ Πολύγνωτε ἐπιδιδόασιν αἱ φροντίδες· εἰ πολλοῖς μὲν ἄλλοις μηδὲ θεαταῖς γενομένοις τῶν περὶ Εὔβοιαν ἢ ἐν Σαλαμῖνι ναυμαχιῶν ἐνέσται βιοῦν ἐν ἀθήναις, καὶ ἐκβάλλειν ¹ ὡς βούλονται, καὶ καλεῖν εἰ δόξειεν· ἡμῖν δὲ τοῖς ¹ εἰ καὶ βραχὺ συλλαβομένοις φυλαχθῆναι ταύτην ἀθηναίοις τὴν ἐξουσίαν, μόνοις ἄπο ταύτης, οὔτ' Ἀθη-

¹ αὐτῆς

¹ ἴσ. ἐκβαίνειν ὡς βούλονται, καὶ καταλύειν

¹ ἴσ. οὐ βραχὺ.

erant quæ deferebantur, audacius ipſi nobis promittebamus fortiter laturos abſentiam. cogitantas enim & ipſi nauales pugnas, & quæcumque ſimilia pertulimus, arbitrabamur hæc quoque nos viriliter toleraturos. Scis porrò nos haud multa vſos lamentatione diſcedentes. Nunc verò tempus, Polygnote, non adducit nos in obliuionem eorum quæ reliquimus, nec aſſuetudinem exilij præſtat. Sed leue quidem nobis eſſet non diuturnum exilium; at quæ reliquimus, tempore fiunt optabiliora: nec vlla conſolatio eſt, quod pugnãs ego cum barbaris, & periculis me offerens, multa quoque alia forti animo ſuſtinuerim. Quinimmo cogitatio hæc animum in contrariam trahit partem. Cenſeo enim hæc me toleraſſe, vt frui mihi liceret Athenis. Ex quo mihi Polygnote augeſcunt curæ; quòd multis quidem alijs, qui ne ſpectatores quidem fuere naualium certaminum ad Eubæam & Salaminẽ, fas erit vitam Athenis agere, & abſcedere ſi velint, & diuertere ſi libuerit: nobis verò tantùm, qui licet minimũ cõtulerimus, auctores tamen cõſeruãdę Atheniẽſibus huius facultatis fuimus, nec facultate hac,

nec

nec Athenis potiri datur. Sed eo vocamur nomine, quo inimiciſſimi libentiſſimè vtuntur, exules; & nos hoc eſſe ſenſu percipimus, orbati vobis mihi amicis, orbati domo & penatibus, vbi victimas ob partam victoriam immolauimus; in aliena regione & ciuitate peregrinantes. & fortaſſe mortem quoque oppetemus, nondū de exilio reducti. An vetò ſi qua ſuſpicio futura hæc indicaſſet, tanta in hoſtes animoſitate pugnaſſemus; aut inferentem hæc victoriam ſectati eſſemus, ſi poſt Medos ſubeundum erat periculum amittendæ ciuitatis Athenienſium iudicio Lacedæmoniorum? Siquidē Argiui habēt extorres; & Argiuis, & cuicumque ciuitati bona precari oportet, quando nobis ad omnes præter Athenas aditus patet. Coegit me exilij tanquam furoris impetus verba hæc plena ægritudinis promere. Quo enim beneficio, quove incommodo non affecere nos Athenienſes? aut qua ratione fieri poterit, vt non menriamur? & verba hæc, cum ſeſe obtuletit occaſio, non dilabantur? Neque enim ſi rutſus Medi inuadant in Atticam, dubium eſt quòd in exilio ſim, quin eſſe inglorius nolim; nec propterea certa-

Ἀθηνῶν μέτεστιν· ἀλλὰ καλούμεθά τε ὃ τοῖς ἐχθίστοις ἥδιστον καλεῖν, φυγάδες· αὐτοί τε ὅτι τοῦτ' ἐσμὲν, αἰσθανόμεθα, ἔρημοι μὲν ὑμῶν τῶν φίλων, ἔρημοι δὲ οἴκων καὶ ἑστίας, ἀφ' ‖ ἧς τὰ κατὰ Μήδων ἐπινίκια ἐθύσαμεν, πάροικοι ἀλλοτρίας γῆς τε καὶ πόλεως. Καὶ τάχα καὶ ἀποθανούμεθα φυγάδες ἀκμὴν μένοντες. ἢ μάλα γὰρ ‖ ἄψυχοι ἐμαχόμεθα τοῖς πολεμίοις, εἰ ταῦτά τις ἐλπὶς ἡμῖν προὔφαινεν· ἤμεν ‖ ἐδιώκομεν ἂν ταῦτα φέρουσαν τὴν νίκην, εἰ μετὰ Μήδους παρὰ ‖ Λακεδαιμονίους ἂν περὶ τῆς Ἀθηναίων πόλεως ἐκινδυνεύσομεν. Ἀργεῖοι γὰρ ἀποδυνέειν ‖, καὶ Ἀργείοις τ' ἀγαθὰ εὔχεσθαι, καὶ ἄλλῃ τινί πως καὶ πάσῃ πόλει, εἴπερ ἁπάσης ἡμῖν μέτεστιν ἔξω Ἀθηνῶν. ἀλλὰ σχέτλιά γε καὶ ταῦτα ὑπὸ τῆς φυγῆς ἠναγκάσμεθα εἰπεῖν, ὥσπερ ὑπὸ μανίας. Τί γὰρ Ἀθηναῖοι κακὸν ὦ Πολίγνωτε, τί δ' οὐκ ἀγαθὸν εἰργάσαντο; ἢ πῶς οὐ ψευσόμεθα, καὶ οὗτοι οἱ λόγοι ἔργου ἐλθόντος ἀποδράσονται; οὐ γὰρ εἰ Μῆδοι πάλιν τῆς Ἀττικῆς ἐπιχειροῖεν, ‖ κίνδυνος ὅτι φυγάς εἰμι δόξω ‖ εἶναι, οὐδὲ τῶν μὴ τοιαῦτα πεπονθότων τὸν ἀγῶ-

να

‖ ἴσ. ἐφ' ἧς
‖ ἴσ. ἀ. ψυχοί
‖ ἴσ. ἢ καὶ
‖ ἴσ. Λακεδαιμονίοις
‖ ἴσ. ἀπόλιδας ἔχουσι, καὶ ἀργείοις δεῖ τἀγαθὰ
‖ ἴσ. κατεπιχειροῖεν
‖ ἴσ. ἄδοξον εἶναι

να ἡγήσομαι. ἀλλ' εἰ μὴ καὶ ναύαρχος ἢ στρατηγὸς ὦ Πολύγνωτε, φυγάς γε μαχοῦμαι· οὔθ' ἱππάσασθαι διὰ τοῦτο χεῖρον ἄν μοι γένοιτο, οὔτε νηὶ χρήσασθαι. πολὺ δ' αὖ καὶ ἐπιδοίην νῦν ὑπ' ἐμπειρίας ἄμεινον ἢ πότε μαχητὴς γενέσθαι. Καὶ φυγάδας μὲν ἡμᾶς δύναιντ' ἂν οἱ κάκιστοι Ἀθηναίων ποιεῖν, κακοὺς δὲ οὐδέποτε. ἔδει δὲ ἄρα ἡμᾶς καὶ ἐν ταῖς καθ' ἡμῶν αὐτῶν κολάσεσιν αἰσθέσθαι, ἧς Ἀθηναίοις ἐσώσαμεν ἐξουσίας. Καὶ ταῦτα μὲν ἐνθυμεῖσθαί τε πολλάκις ἡμῖν ἔστι, καὶ λόγων πληροῦσθαι μυρίων, καὶ ἀντιμάχεσθαι δοκεῖ ταῖς φροντίσιν. ἡ δὲ παροῦσα ἐρημία δεινὴ ἀντίκειται μεθέλκουσα, καὶ ἑαυτῆς ποιοῦσα τὸν νοῦν. Καὶ δὴ καὶ ἀπάγει ἡμᾶς τῶν ἰσχυροτέρων λογισμῶν. Καὶ οὐδὲ ἀργείων οἱ πλεῖστοι παρόντες ἡμῖν ἂν ἐροῦσιν, μὴ ἐρημίαν εἶναι ταῦτα. ἀλλ' ἅμα τῷ πλήθει τῷ τούτων καὶ ἡ τῶν φίλων τε καὶ οἰκείων ἀπουσία φαίνεται. ἀλλ' εἰ μὲν ἔρρωται ἤδη σοι τὸ θυγάτριον, ἣν προὐτείνου τῆς κατοχῆς αἰτίαν, ἀφικνοῦ, πολλὰ τῶν λυπούντων ἡμᾶς ἀφαιρησόμενος. εἰ δὲ εἴη τι κατέχον, ταῦτα μὲν λυθῆναι εὐχόμεθα.

certamen ad eos pertinere exiſtimabo, qui nihil mali paſſi ſunt. Nam etſi non ero Dux, & claſſis imperio potens, exul tamen Polygnote pugnabo. Ex quo nequaquam ero deterior vel ad equitandum, vel ad naui vtendum; immò iam experientia firmatus aptior ad pugnam ero, quam antea fuerim. & poterunt quidem nos proijcere in exilium nequiſſimi Athenienſium, at prauos nunquã facient. Futurum porrò erat, vt nos poteſtatem, quã per nos habent Athenienſes, in noſtris ipſi pœnis ſentiremus. Hæc ſæpè mihi verſantur in animo, & mens mihi plena eſt innumeris cogitationibus, & mihi videor illis repugnare. Cæterum præſens ſolitudo vehementer obſiſtit, auocans, & mentem ad ſe pertrahens, quæ nos etiam abducit à grauiori rationis iudicio. Nec plurimi Argiuorũ, quos habeo pręſentes, negabũt hanc eſſe ſolitudinem. nam ſimul cum frequentia illorum ſeſe offert amicorum & neceſſariorum abſentia. At ſi iam tibi filiola valet; quam te detinentem cauſam obtendebas: veni, multis quæ nos mœrore affligunt liberaturus. Siquid verò eſt quod detineat, optamus e medio tolli. Ad hæc Me-

Megaclem quoque tu præſens, & ego ſcribens inducamus, vt ſuo aduentu ſpem noſtram aliquando expleat, deſinatque promiſſis tenere.

θαι· Μεγακλέα δὲ μᾶλλον ἔτι καὶ σὺ παρὼν αὐτὸς, καὶ ἐγὼ γράφων ¹ ἀναπείθομεν ἐκτελέσαι ποτὲ ἥκοντα τὴν ἡμετέραν ἐλπίδα, καὶ παύσασθαι ὑπισχνούμενον.

¹ ἀναπείθωμεν

Argumentum IV. Epiſtolæ.

Scripſerat Autolycus Themiſtocli, Athenienſes pœnitentia ductos velle eum ab exilio reuocare. Themiſtocles verò conſolationis ait hæc eſſe verba, non veritatis; cum & inimicorum vigeret potentia, & Athenienſium res floreret. Itaque auctorem ſe commemorans publicæ illorum felicitatis monet, vt vera deinceps ſcribat.

Themiſtocles Autolyco ſalutem.

MAllem te Autolyce vera ſcribere, quàm nobis ſolatium dare. Dum enim ſcribis, valde iam pœnitere Athenienſes noſtri exilij, videris mihi non vera dicere, ſed ſolatium potius præbere. Nam & qui plebem contra nos ſeducunt, præualent: & nullum tempus venit, quo & nihili homines vrbi non ſint viui; & ſimul efficiant, vt perſpectum fiat, eorum opera eſſe eiectos præſtantes viros. Nunc verò in publica felicitate latet eorum inertia. At certè mea ſunt, per quæ illi latent, & ciuitas ſecundis rebus gaudet. Vtinam vel

Θεμιστοκλῆς Αὐτολύκῳ χαίρειν.

ΗΣσον ὦ Αὐτόλυκε παρηγορεῖν ἄν σε βουλοίμην ἡμᾶς, ἢ τ' ἀληθῆ λέγειν. σὺ δὲ ἐπιστέλλων σφόδρα ἤδη μεταμέλειν Ἀθηναίοις τῆς ἡμετέρας φυγῆς, παρηγορεῖν ἔμοιγε δοκεῖς μᾶλλον, ἢ τ' ἀληθῆ λέγειν. οἵ τε γὰρ τὸ πλῆθος δι' ἡμᾶς διαβάλλοντες ἐπισχύουσιν· καὶ καιρὸς οὐδεὶς καταλαμβάνει, ἐν ᾧ ἀχρεῖοι ἂν ἐν τῇ πόλει οἱ κακοὶ ὦσι, καὶ ἅμα αἴσθησιν παρέχοντες ὅτι κατειργάσαντο τοὺς ἀμείνους ἐκπεσεῖν. ἀλλὰ νῦν τῇ κοινῇ εὐπραγίᾳ ¹ ἐπικαμπτόμενοι ἀφανέστερον ἔχουσι τὸ ἀχρεῖον. Καὶ μὴν ¹ ἐγὼ τὰ ἀποκρύπτοντα αὐτοὺς, ἐφ' ᾧ τε καὶ ἡ

¹ ἴσ. ἐπικρυπτόμενοι

¹ ἴσ. Καὶ μὴν ἐμὰ

καὶ ἡ πόλις εὐπραγείη. ἢ γὰρ ἂν ἡμᾶς ἐπιεικῶς τὰ ἐν Ἀθήναις ἀγαθὰ καὶ δι' ἀκοῆς εὐφραίνοι, καὶ εἰ δοκῇ μὴ ὑπὲρ ἡμῶν εἶναι ἐπιδεδωκέναι αὐτὰ ἐξ ὅτου ἐφύγομεν. ἴσως γὰρ ἤδη καὶ ταῦτα ταῖς [1] ὑμετέραις ἕπεται ἀρχαῖς· καὶ εὖ καταστάντα εὖ προχωρεῖ. Καὶ ἡμᾶς ἴσως ἂν ἑαυτοὺς δικαίως αἰτιοίμεθα, ἀνοίξαντας ὁδὸν τοῖς πράγμασιν εὐρεῖαν, δι' ἧς ἂν οὐκέτι χρήζοι τοῦ ἄγοντος. Σὺ δὲ ὦ Αὐτόλυκε μὴ ὡς αὐτὸς ἐθέλεις μεταμέλεσθαι Ἀθηναίους, ἀλλ' ὡς αὐτοὶ ἔχουσιν ἐπίστελλε ἡμῖν· ἔχουσι γὰρ οἶμαι, καθὰ ἂν αὐτοὺς τρέπωσιν οἱ παρόντες, οἳ φανερώτεροι ἂν ἦσαν τῆς κακίας μὴ φυγόντων ἡμῶν.

[1] ἡμετέραις

vel audiendo proſperas Athenienſium res lætemur; etſi non videtur eſſe in noſtram rem, vt eæ meliori loco ſint ex quo eiecti fuimus. Fortaſſe enim hic ſtatus pendet ex eo, quem nos fundauimus: & bene conſtitutus, bene progreditur. nec immeritò forſitan nos auctores dixerimus, qui viam rebus amplam aperuimus, in qua non ſit opus duce. Tu porro Autolyce ſcribito nobis de Athenienſibus, non vt ipſe velles, mutaſſe illos conſilium; ſed quo ſint erga nos animo. ſunt autem arbitror, prout eos deflectunt, qui præſentes ſunt. quorum notior eſſet nequitia, ſi non ipſi exularemus.

Argumentum V. Epiſtolæ.

Virtutis & fortunæ parallelis lineis pares Themiſtocles Athenienſis, & Lacedæmonius Pauſanias, ille conſilio & militari prudentia bis naualẽ victoriam à numeroſiſſima Perſarum claſſe reportauit: hic verò Mardonium, qui poſt fugam Xerxis magnas ſecum copias ad ſubiugandam Græciam retinuerat, inſigni victoria fudit ad Platæas. Vterque liberatoris Græciæ titulo dignus. Verum dilabente fortuna Themiſtoclis adhuc florebat Pauſanias. quo tempore Alcetas Themiſtoclis amicus caſum eius deplorans ſolebat dicere: Fortunam deſerto Themiſtocle totam ſe Pauſaniæ dediſſe. Poſtea euerſis Pauſaniæ rebus, & ſumma felicitate in ſummam conuerſa miſeriam, Themiſtocles nondum & ipſe miſerior factus, reuocat Alcetam ad ſui dicti memoriam, & ærumnoſiſſimum Pauſaniæ lapſum enarrat. ex quo non modo ſeſe feliciorem, ſed neque omnino conferendum cum illo ait. Sibi enim calamitatis cauſam eſſe virtu-

Digitized by Google

virtutem, illi dominandi libidinem, & ſtudium proditionis. Thucyd. & Diodorus locis citatis.

Themiſtocles Alcetæ S.

Solebas Alceta meum deflendo exilium, fortunam quoque Pauſaniæ beatam vocare. & ſcripſiſti ſæpè, fugiſſe à nobis Deam, ſeſeq. Pauſaniæ tradidiſſe. Perijt vir ille tibi Alceta cum ipſa: euanuit præfectura Helleſponti, quæ tam ampla erat. Defluxere opes, & nomen vſque ad aures Regis. & nec vita functo ſepultura illi in promptu fuit. Qui verò Pauſaniam ſummis laudibus extollebant, nunc vel ab ipſo proferendo eius nomine abſtinent, quaſi audientes multis illud malis oppleat. Tu igitur poſthac nec beatum Pauſaniã ob amplitudinem prædicabis, nec rerum eius præſentem lugebis exitum. iuſtas enim & debitas pœnas luit; & laudo ſupplicium irrogatum. Quòd ſi immodicam rerum mutationẽ cõſiderans vehementer obſtupeſcis, liberabimus te ſtupore narrantes, quo nos quoque gemitu liberauerit vir quidam iſthinc profectus. & mutatus admirare, huiuſmodi virum illum

Θεμιστοκλῆς Ἀλκέτᾳ χαίρειν.

Εἰώθεις ὦ Ἀλκέτα ἅμα τὴν ἐμὴν ὀδυρόμενος φυγὴν μακαρίσαι τὴν Παυσανίου τύχην. Καὶ πολλάκις ἔγραψας σύγε, ὡς ἀποδρᾶσα ἡμῶν ἡ δαίμων ἑαυτὴν παραδοίη Παυσανίᾳ. οἴχεταί σοι μετ' αὐτῆς ἀνὴρ ἐκεῖνος ὦ Ἀλκέτα. οἴχεται μὲν ἡ ἐφ' Ἑλλησπόντῳ ἀρχὴ, τοσαύτη οὖσα· οἴχεται δὲ ὁ πλοῦτος, καὶ τὸ ἄχρι βασιλέως ὄνομα. καὶ οὐδὲ ταφῆναι αὐτῷ τελευτήσαντι ἕτοιμον γέγονεν. οἱ δὲ μάλιστα θαυμάσαντες Παυσανίαν, νῦν μάλιστα καὶ τοῦ ὀνόματος αὐτοῦ ἀπέχονται, πολλῶν τοὺς ἀκουσομένους κακῶν [1] ἀναπλήσαντες. ὥστε σοι ὥρα μήτε μακαρίζειν ἔτι τοῦ μεγέθους Παυσανίαν, μήτε μὴν ὀδύρεσθαι τῆς νῦν καταστροφῆς· δίκαια γὰρ νῦν δὴ πέπονθεν, καὶ ἐπαινοῦμεν αὐτοῦ τὴν τιμωρίαν. Καὶ εἰ σφόδρα ἐκπέπληξαι τὸ ἄμετρον τῆς μεταβολῆς ἐννοούμενος, ἀπολύσομέν σε τῆς ἐκπλήξεως, φήσαντες οἵοις [1] καὶ ἡμᾶς ἀπέλυσεν εἷς αὐτὸς ἀνὴρ ἐλθὼν οἰμαι γῆς· καὶ μεταβαλλόμενος θαύμαζε, ὅτι τοιοῦτος ὢν ἀφελεῖν ἐκεῖνος, καὶ εὐτύχει ποτὲ, καὶ [1] χρόνου πολλοῦ

1 ἴσ. ἀναπλήσοντες.

1 ἴσ. οἵας καὶ ἡμᾶς ἀπ' ἐς αὐτόθεν ἀνὴρ ἐλθὼν οἰμωγῆς.

1 ἴσ. χρυσίου.

ἀπέλαυσε. Επώλει Παυσανίας βασιλεῖ τὴν Ἑλλάδα, καὶ Μήδους ἐφίλει καὶ ἐμιμεῖτο, καὶ ἤχθετο ὅτι Ἕλλην εἴη καὶ οὐ τῶν ἐπὶ τὴν ἑλλάδα ἐλθόντων. Καὶ ἐπεὶ ἐδόκει ἀπολογεῖσθαι τοῖς ἐν πλαταιαῖς ἔργῳ μὴ κακὸς εἶναι, πιστεύεται τὴν ἐφ' ἑλλησπόντου στρατηγίαν. Καὶ αὐτίκα διὰ τῆς στρατηγίας ἀπελογεῖτο μήδοις, ὅτι οὐδ' ἐν πλαταιαῖς ἑκὼν ἀγαθὸς ἐγένετο. ποινὴν δὲ ἐκείνου τοῦ ἔργου ἀντιδίδου τὴν ἑλλάδα αὐτοῖς· καὶ Αρταβάζῳ συνετίθετο ἀντισατράπῃ [1] βασιλέως ἐπὶ τοῖς πρὸς θάλασσαν ἔθνεσιν· αὐτός τε [1] βασιλεῖ ταῦτα ἤγγελλεν, καὶ αὐτὸς ἤδη μῆδος ἦν καὶ γνώμῃ, καὶ διαίταις· καὶ οὐδὲ ἡ ἐσθὴς αὐτὸν ἔτι Ἕλληνα ἐποίει. Ταῦτα δὲ, ὡς που καὶ αὐτὸς ἔγνωκας, ὀλίγη τὸ πρῶτον εἰς Λακεδαιμονίους ἐκόμισεν ἀγγελία. Καὶ αὐτίκα ἐκίνησε μὲν, καίπερ ὀλίγη οὖσα, πλέον δ' οὐδὲν. ἐπεὶ δὲ μετεβλήθη [1], ἀπέστη Παυσανίας· ἢ ἀφαιρεθεὶς τὴν ἀρχὴν ἰδιώτης ἀντὶ στρατηγοῦ γίνεται. ἐλθὼν [1] γὰρ εἰς τὴν Ἀσίαν κομισθεὶς, καὶ ὀργῇ τε καὶ ἀμύνῃ φέρων τὴν

[1] ἴσ. ἀντὶ μεγαβάτου σατράπῃ (ἐκ τῶν Θουκυδ.)

[1] ἴσ. αὐτῷ τε

[1] ἴσ. διεβοήθη, ἀπ. Παυ. καὶ ἀφαιρεθεὶς

[1] ἴσ. ἐλθὼν τε

illum præcelluiſſe, & floruiſſe, multoq. auro abundaſſe. Vendebat Pauſanias Regi Græciã, Medosq. amabat & æmulabatur, & moleſtè ferebat ſe Græcum eſſe, non ex eorum numero, qui ad ſubigendam Græciam venerant. & quoniam quæ ad Platæas geſſerat videbantur eius defenſio, quòd frugi eſſet, concreditur illi præfectura Helleſponti. Quam ſimul atque accepit, ſtatim ſe Medis excuſabat, quod nec ad Platæas ſua ſponte virum ſe præſtitiſſet. & vt opus illud cõpenſaret, tradebat ijs Græciã: & iuncto fœdere cum Artabazo) qui amoto Megabate miſſus eſt à Rege Satrapa maritimis populis) & ad ipſum Regẽ de his litteras mittebat, & ipſe iam Medus erat & animo & viuendi inſtitutis: nec cultus ipſum corporis Græcũ amplius oſtendebat. Hæc, vt tu quoque noſti, leuis initio fama pertulit ad Lacedæmonios. & turbauit illa quidem ſubito, tametſi leuis, ſed præterea nihil. at vbi rumor percrebuit, animaduerſum eſt in Pauſaniã: & abrogato Magiſtratu redigitur in ordinem qui dux erat, priuatusq. fit. Statimq. delatus in Aſiam, atque ira & ſe vlciſcendi voluntate inflammatus ob Præfecturæ abrogatio-

Thucyd. lib. 1.

tionem aggreſſus eſt immanis audaciæ negotia. Clam tamen adhuc agebat, non pudore famæ ſi non lateret, ſed timore ne forte rem non perficeret. Namque peracta machinatione proditionis, e veſtigio tranſiturus palam erat ad Regem. Occultam porro rationem, quam machinatus erat, mittendi litteras, tenuit hanc: quæ illi per aliquod tempus & ſalutem attulit, & inde perniciem. Nuntium quemq. à Pauſania miſſum Artabazus morti tradebat. Mandabat enim Pauſanias; nec minus illi curæ hoc erat, quam aliud quiduis ad proditionem ſpectans: vt nuntius è medio tolleretur; ne quis vſpiam ſupereſſet, à quo deferri poſſent quæ agebātur. & machina quidem illi hæc de necandis nuntijs ex ſententia ſucceſſit vſque ad tertium & quartum nuntium; in quinto vero latere deſijt. Subijt enim timor miniſtros Pauſaniæ; eoq. magis reformidabāt munus tabellarij, qui nondum miſſi erant, quòd regreſſum ex ijs qui miſſi erant vidiſſent neminem. Itaque cum Pauſanias iterum vocatus Lacedæmonem petijſſet; præſertim

ꝙ

τὴν ἀφαίρεσιν τῆς στρατηγίας, θερμότερον ἥπτετο πραγμάτων· κρύφα δὲ ἀκμὴν ἔπραττεν, οὐκ αἰσχυνόμενος ἐπ' αὐτοῖς εἰ μὴ λανθάνοι, ἀλλὰ φοβούμενος εἰ ἐμπέσοι ἀποτυχεῖν. αὐτίκα γὰρ ἅπαντα συντεθεὶς τὴν προδοσίαν ἔμελλεν ἀναφανδὸν μεταστήσεσθαι πρὸς βασιλέα. Τὸ δ' οὖν μηχάνημα τῆς κρυφίου διαπέμψεως τοιοῦτον ἑαυτῷ κατεσκεύαστο, ὑφ' οὗ δὴ μάλιστα καὶ ἐσώθη χρόνον τινὰ, καὶ αὖθις ἀπώλετο. ἄγγελον τὸν ἀεὶ πεμπόμενον ὑπὸ Παυσανίου θάνατος παρὰ Ἀρταβάζου ἐδέχετο. ἐπέστελλε γὰρ δὴ Παυσανίας οὐδενὸς ἀμελέστερον τοῦ τῆς προδοσίας ἀποκτείνειν τὸν ἄγγελον, ὡς μηδαμοῦ λόγος σωθείη τῶν ὑπ' αὐτοῦ πρασσομένων. Καὶ αὐτῷ ἄχρι μὲν τριῶν καὶ τεσσάρων ἀπωλείας ἀγγέλων τὸ μηχάνημα εὐτύχει, ἐν τῷ πέμπτῳ δὲ ἔστη λανθάνουσα ἡ ἐπιχείρησις. Δέος γὰρ ἔλαβεν τοὺς ὑπηρετοῦντας τοῦ Παυσανίου, καὶ μᾶλλον τὸ μη- | τῷ
δένα ἀπονοστῆσαι τῶν πεμπομένων φοβερωτέρα μήνυσις ἐγίνετο τοῖς μήπω ἀπεσταλμένοις· Καὶ ἐπεὶ τὸ δεύτερον κληθεὶς εἰς Λακεδαίμονα ἀφίκετο Παυσανίας, καὶ μᾶλλον ὅτι ἐν αἰτίαις ὢν ἔπεμπε

πρὸς βασιλέα ἀγγέλους, ἔδεισεν ὁ τελευταῖος τῶν πεμπομένων. καὶ ἐν νῷ μάλιστα τὴν ἑαυτοῦ ἀπάλλειαν [1], καὶ πρὶν μαθεῖν οὐκ ἀξιῶν αὐτοῦ τοῦ φόβῳ πιστεύειν, ἀπομάττεται τὴν σφραγῖδα τοῦ Παυσανίου, ὅπως [2] τ' ἔχοι σημήνασθαι ψευσθείς. λύσας δὲ τὰς ἐπιστολὰς, καὶ τὰ πολλὰ περὶ καταδουλώσεως τῶν Ἑλλήνων, καὶ ἔσχατον περὶ τῆς ἑαυτοῦ ἀπωλείας ἀναγνοὺς, φέρων ἀποδείκνυσι τοῖς ἐφόροις. οἱ δὲ τοῦτο τοῖς γράμμασι καὶ τοῖς ἄλλοις κατὰ Παυσανίου λόγοις ποιούμενοι τεκμήριον, ἔτι καὶ γυμνὴν καταινοῆσαι τὴν ἀλήθειαν ἐξειργάσαντο· καὶ καθίζουσι τὸν ἄνθρωπον ὡς ἱκέτην ἄγοντες παρὰ Ταίναρον, ἄνδρας ἐξ αὐτῶν κρύφα ἀποστείλαντες. ὡς δὲ ἀφικόμενος ὁ Παυσανίας ἐξήταζέν τε [3] ὑφ' ἧς αἰτίας ἱκέτης γέγονεν, ὃν αὐτὸς ἄγγελον εἰς τὴν Ἀσίαν ἐπεπόμφει· αὐτίκα ὁ ἄνθρωπος μάρτυρά τε αὐτὸν ποιεῖται Παυσανίαν, οὐδὲν παρ' αὐτοῦ θανάτου ποτὲ ἄξιον ἐργάσασθαι, προσφερόντε ὡς ἀπεστέλλετο ἀπολούμενος. καὶ τῆς μὲν τῶν Ἑλλήνων δουλώσεως ὀλίγον ἑαυτοῦ μέλειν ἔφασκε, οὐδὲ γὰρ νῦν ἀδεῶς ἐλεύθε-

ρον

[1] ἴσ. ἀπώλειαν θέμενος

[2] γ' ἔχοι

[3] δοκεῖ περιέλκειν

q accuſatus mitteret ad Regem nuntios; extimuit is quem poſtremum mittebat; & ſuum animaduertens interitum, indignumque putans, antequam certo ſciret, timori credere: exprimit effigiem ſigilli Pauſaniæ, vt ſi cum opinio feſelliſſet, obſignare poſſet. Reſignatis igitur epiſtolis, cum ibi complura legiſſet de redigendis in ſeruitutem Græcis, & poſtremò additum, de ſe occidendo; tulit, & oſtendit Ephoris. Illi ex litteris, alijsq. contra Pauſaniam dictis argumentum ducentes, vt nudam veritatem depræhenderent, hanc viam excogitarunt. Sedere iuſſerunt hominem more ſupplicantium in fanum Tænari adductum, viris quibuſdam de ſuorum numero clanculum miſſis. Vt verò profectus Pauſanias ex eo quærebat, cur ſupplex eſſet, quem ipſe nuntium miſiſſet in Aſiam. Illico reſpondit ille, ſe innocentiæ ſuæ teſtem ipſum habere Pauſaniam, quòd nihil vnquam contra eum dignũ morte commiſiſſet: & obijciebat, ſe mitti ad necem. & de ſubiugandis quidem Græcis parum ſe curare aiebat; quòd ne nunc quidem tuto liber eſſet: prius verò ſe liberari ro-

ga-

gabat. At Pauſanias & fidem illi de vitanda nece dedit; rogatumque vt quæ ſciret, ſeruaret apud ſe, erigit, & Lacedæmonem ibat. Sequebantur illum viri, qui nihil non audierant. Quibus Ephori omnes quam citiſſimè cognitis, dum comprehendere illum volunt, non latuere id præuidentem: ſed ſeſe ille proripiens irruit in æneum Chalciæcæ Mineruæ templum, & ſupplex in quadam domo ſedebat, quæ templi erat. Illi muro oſtium obſtruentes, ſublato quoque domus tecto, ſine alimonia incluſo ſupplici mortem attulerunt. Cum verò iam efflaturum animam cognouiſſent, è delubro eduxerunt: & conſultabant, darent ne illum ad ſepulturam, an non. Hic fuit Alceta exitus felicitatis Pauſaniæ. & narraui tibi omnia, quæ didici ab homine Ilote. Nec noſtrum exilium erit tibi amplius deflendum. ter enim felices nos, quibus liuor fuit malorum menſura; digniq. fuimus, quos exagitaret inuidia. Nam virtus cauſa eſt, cur in hoc ſtatu ſimus; talemque finem habuerit in adminiſtranda Republica noſtra proſperitas. At ſi forte

Pauſan. lib. 10.

ερον ἦν· ἑαυτὸν δὲ προέτρεπεν ἀπολελύσθαι ἥξειν. Παυσανίας δὲ πιστοῦταί τε αὐτὸν περὶ τῆς ἀπωλείας, καὶ κατέχειν ἅπερ ἔγνω δεηθεὶς, ἀναστήσας εἰς Λακεδαίμονα ᾔει. καὶ εἵποντο οἱ ἄνδρες οὐδενὸς ἀνήκοοι γεγονότες. ὡς δὲ τάχιστα πάντες οἱ ἔφοροι ταῦτα μαθόντες ἐφωράθησαν αὐτὸν συλληψόμενοι, φθάνει εἰσπεσὼν εἰς τὸ ἱερὸν τῆς χαλκιοίκου Ἀθηνᾶς, καὶ ἱκέτης ἔν τινι οἴκῳ τοῦ τεμένους ἐκαθέζετο. οἱ δὲ ἀνοικοδομήσαντες τὴν εἴσοδον, ἀνελόντες [1] τὴν ὀροφὴν τοῦ οἴκου, ὑπὸ ἐνδείας αὐτῷ παρέχον ἱκέτῃ μένοντι ἀπολέσθαι. Καὶ ἐπεὶ ἀποψύχοντα ἔγνωσαν, ἐξεκόμισαν τοῦ τεμένους. ἐν βουλῇ ἦσαν, ἄτε δέοι αὐτὸν ταφῆναι, εἴτε μή. τοιαῦτα δὲ Ἀλκέτα τὰ τῆς εὐτυχίας πέρατα Παυσανίαν κατέλαβον. Καί σοι ἀποδέδωκα πάντα τὸν λόγον τοῦ εἵλωτος ἀνδρός. καὶ μηκέτι ἡμᾶς ὀδύρου τῆς φυγῆς. τρισόλβιοι γὰρ ἡμεῖς ἄρα, οἳ φθόνῳ ἐμετρήθημεν, καὶ οὐκ ἐλάττονες φθόνου ἐγενόμεθα. ἀλλὰ τὴν ἀρετὴν τῶν παρόντων ἔχομεν αἰτιᾶσθαι, καὶ τοῦ πέρατος οὗ ἐτύχομεν τῆς ἐν δημοκρατίᾳ εὐπραγίας. ἀλλ' εἴπου ἄρα αὐτοῖς, ὅτι ταπεινοί ἤδη

1 ἀνελόντες τε

te γε.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Digitized by Google

γεγόναμεν, ἔλεος καὶ μεταμέλεια. τὸ πάθος ἀντὶ φθόνου γίνεται, μανθάνομεν. ἐπίστελλε ὦ Ἀλκέτα. καὶ τάχα ἂν ἤδη καὶ Αὐτολύκῳ ταῦτα ἐπιστέλλοντι πειθοίμεθα.

te illis, iam enim humili fortuna ſumus, liuor in commiſerationem tranſit, & animum facti pœnitentem; ſcribito ad nos, ſi cognoueris Alceta. ita enim fortaſſe & Autolyco ſimilia ſcribenti credemus.

Argumentum VI. Epiſtolæ.

Nicias, & Meleager Argiui vſque Cyllenem comitati fuerant Themiſtoclem, quando admonitus de nouo Athenienſium decreto, vt ipſe ad ſupplicium quæreretur, fugæ ſe dederat Corcyram verſus. Scribit ergo Themiſtocles & perueniſſe ſe Corcyram, & Corcyræorum animos repeꝛiſſe ad ferendum auxilium minus propenſos.

Θεμιστοκλῆς Νικίᾳ καὶ Μελεάγρῳ χαίρειν.

1 εἰς Κερ.

ὅ, τι

Ἀφίγμεθα εἰς τὴν Κέρκυραν, ὥσπερ καὶ ἀναγόμενοι διεγνώκειμεν· ὅτι πλοῦς ἐπιτήδειος ἡμῖν ἐγένετο, καὶ πολὺ ἀφεῖλεν οὗ ἐπὶ Κυλλήνης κατεσχέθημεν χρόνου. Καὶ ἔτι τήν τε ναῦν εὐθὺς ὑμῖν ἀπεπέμψαμεν, καὶ τοὺς πλείους τῶν οἰκετῶν, ὡς ἂν μὴ βαρύτεροι τισὶ δόξαιμεν ἢ φυγάσι πρέπειν οἰόμεθα. Κερκυραῖοι δὲ οὐκ οἶδ' ὅπως ἔχοντες ἐπιδείκνυνται. μεμνῆσθαι μὲν γὰρ τῆς ἡμετέρας ὁμολογοῦσιν εὐεργεσίας, καὶ μηδὲ ὀφείλειν χάριτας οὐδαμῶς ἀρνοῦνται, καιρὸν δὲ αὐτοῖς οὐκ ἀγαθὸν ἀπαιτεῖσθαι φα-

Themiſtocles Niciæ & Meleagro ſalutem.

PErueenimus Corcyram, quo & ſoluentes tendebamus. nauigatione vſi ſumus proſpera; multumq. temporis, quo Cyllene nos detinuit, ipſa ſubtraxit. Nauim prætcrea vobis remiſi, & maiorem famulorum partem; necubi grauiores hoſpites ſimus, quàm exules decere putamus. Corcyræi verò quo ſint erga nos animo, neſcio. fatentur enim ſe noſtrorum beneficiorum habere memoriam: nec inficiantur ſe referendæ gratiæ debitores eſſe; ſed eam aiunt non opportunè exigi. Nam ſe quoque aſſerunt non eſſe viribus

buſ pares ijs, qui & nos quæſierunt; ne fortè illi, dum vni gratiam referunt, omnia euertant: & nos qui beneficentia iuuimus, accepta remuneratione perdamus. Itaque honeſtè nos reijciunt. & vereor, ne nobis hæc ſint initium longioris exilij.

φασίν· καὶ αὐτοὶ γὰρ Ἀθηναῖοι στερεῖ τε καὶ ἡμᾶς διωκόντων ἔστ' ἀξιοῦντι μὴ στραφῇ τῆς εἰς ἕνα εὐχαριστίας ἅπαντα ¹ διαφθαρῆναι ἀναγκάσαι, μηδ' ὀνήσαντας ¹ τῇ εὐεργεσίᾳ ἀπολέσαι τῇ ἀμοιβῇ. ὥστε εὐπρεπῶς ἡμᾶς ἀποπέμπονται, καὶ δέδια μὴ μακροτέρας ταῦτα ἀρχὴ γένηται φυγῆς.

¹ ἴσ. διαφθεῖραι ἀνασείσαι

¹ ἴσ. τοὺς ὀνήσαντας

Argumentum VII. Epiſtolæ.

Creuit à pueritia inter Themiſtoclem & Ariſtidem æmulatio quædam, vt Plutarchus ait in vtriuſque vita, & vſque ad finem perpetua fuit. æquior tamen fuit Ariſtides, qui quod paſſus erat, cum facile poſſet, Themiſtocli non reddidit. Quod etiam epiſtola nona ipſemet fatetur. Hac de cauſa ſcribit, agitq gratias; ſuumq. conſilium probatum iri ſperat illi, quòd petentibus Lacedæmonijs Themiſtoclis cauſam, è patria iam eiecti, in commune Græcorum vocari iudicium; hoc ipſum iuſtis de cauſis declinauerit. De hoc Diodorus lib. 11.

Themiſtocles Ariſtidi S.

INimicitias noſtras extinxit iam fortunæ diſſimilitudo, & imbecillitas qua exules illa cumulat. Tu verò hoc etiam plus egiſti; nam præter ſpem nos perditæ fortunæ homines aggreſſus es beneficijs obſtringere. & hoc etiam nobis non defuit, nequid eorum quæ nũquam ſperabamus fore, non eueniret. Certè gratiæ, quæ tibi ob hoc debentur, non peri-

Θεμιστοκλῆς Ἀριστείδῃ χαίρειν.

Τὴν μὲν ἔχθραν ἡμῶν τὸ ἀνόμοιον τῆς τύχης ἤδη λέλυκε καὶ ἀσθενείας, ἣν ἐκθρέψει ¹ φυγάσι. σὺ δὲ τοῦτο καὶ ὑπερῆρας ὦ Ἀριστείδη, καὶ εὐεργεσίας κατῆρξω παρ' ἐλπίδας εἰς ἀτυχοῦντας ἡμᾶς. Καὶ οὐδὲ τοῦθ' ἡμῖν ἐνέλιπεν εἰς τὸ μηδὲν ὧν προσεδοκήσαμεν γεγονέναι. Καί σοι οὐδὲν ἀπόλωλε τῆς ἐπὶ τούτῳ χάριτος, καὶ εἰ μὴ κατορ-

¹ ἴσ. συρδ'ης φυγ. σὺ δὲ

ορθῶσαι ἴσχυσας· ἀλλὰ καὶ πλείονος ἀρετῆς δέ¹ οὐ προθυμίας εἰς ὑπερβολὴν αὐτὴν ἐσώθημεν, ὅτι καὶ πρὸς οὕτως ἔχοντας Ἀθηναίους ἐμαχέσω. Περὶ δὲ τῆς φερούσης ἡμᾶς νῦν φυγῆς, ὡς ἀντὶ μειζόνων αὐτῶν¹ κακῶν κακήν γε καὶ αὐτὴν οὖσαν ᾑρήμεθα, πῶς οὐχὶ καὶ σοὶ ταῦτα δόξειε; αὖθις καὶ Πολύγνωτος ἐπέστειλεν ἡμῖν· αὐτὸς γὰρ (τοῦτο¹, τὸ φεύγειν) κατὰ τάχος, ὡς ἀπὸ τιμωρίας ἑτοίμης φεύγειν παρεκελεύετο. Καὶ οὐκ ἐδόκει μοι (τούτου¹ οὐκ ἂν γενομένου, εἰ μένοιμεν) ἁμαρτάνειν. Ἀθηναῖοι γὰρ ἦγον ἐπὶ τὸ κοινὸν Δικαστήριον τῶν Ἑλλήνων, ὅπου πολὺ πλεῖόν γε τὸ Δωρικὸν τοῦ Ἰωνικοῦ. καὶ τὸ μὲν πλεῖον ἔμελλεν ἐναντίον γενέσθαι, τὸ δὲ ἔλαττον ἀνωφελές. Καὶ αὐτὸ¹ δὲ εἰ φίλον ἦν τὸ ὑπηργμένον. ὥστε εἰκότως ἂν ἡμᾶς τὸ ἄλλο ἅπαν δέξαιτο ἀνθρώπων γένος, εἴτε βαρβάρων, εἴτε Ἑλλήνων τύχοι· παρ' οἷς δυνήσεται ἡμᾶς καὶ ταῦτα, ἐφ' οἷς διωκόμεθα, ὠφελεῖν.

¹ ἴσ. ἕξομεν καὶ προθυμίας, ἢ ἧττον δι' αὐτὴν ἐσώθ.

¹ αὐτῆς

¹ δοκεῖ παρέλκειν

¹ δοκεῖ καὶ τοῦτο ἔξωθεν προστεθῆναι

¹ ἴσ. καὶ αὐτοῦ δὲ εἰ φίλον τὸ ὑπηργμένον

ribunt, licet re efficere non valueris. Immo maiorem in te virtutem ac ſtudium agnoſcemus, quàm ſi per hæc ipſa ſalui eſſemus, quandoquidem cum Athenienſibus ira etiam affectis pugnaſti. De noſtro porro exilio, in quo nunc ſumus, quòd ipſum etſi malum, ad euitanda tamen maiora mala elegerimus, non dubito quin & ipſe conſilium noſtrum probaturus ſis. Scripſit rurſus ad nos Polygnotus. Ipſe enim monuerat, vt ab imminente pœna nos quam celerrimè in fugam conijceremus, nec aberrare mihi videbatur. Quoniā Athenienſes vocabant nos ad commune Græcorum iudicium, in quo plures ſunt Dores quàm Iones; & maior pars dānatura nos erat, minor verò nulli futura vſui. & huius etiam ea portio, quæ in ditione eſt, amica non eſt. Quamobrem quodlibet aliud hominum genus excipiet nos, ſiue barbarorum, ſiue Græcorū. apud quos hæc ipſa etiam, ob quæ ad ſupplicium quærimur, nobis prodeſſe poterunt.

Argu-

Argumentum VIII. Epiſtolæ.

Queritur Themiſtocles amicorum inertiam: promiſerant enim ſe nullo negotio reuocaturos eum ab exilio, ac inimicum Ariſtidem eluctaturos. Ille verò mutatam ait rerum vicem: Ariſtidem enim gerere ſe vt amicum, amicos contra.

Themiſtocles Antagoræ S.

Polliciti ſæpe mihi eſtis tu Antagora & Autolycus, facile nos Oſtraciſmo liberaturos. pugnaturos enim dicebatis vos cum Ariſtide nobis inimico; plebemq. in contraria ſtudia, quàm ille traxerit, diſtracturos. iam enim & auctoritate illum inferiorem eſſe, quod inimicitias relaxare nolit. Ariſtides nobis euaſit Antagoras, & Ariſtides Autolycus. Certè in malis, quæ paſſi & paſſuri ſumus, non eſſemus, ſi rres aut quatuor Athenis amici eſſetis, qualis vnus eſt inimicus nobis Ariſtides; immo ſi noſtrum audiſſetis inimicum. Nunc verò Antagora quinam potius ſunt exilij noſtri auctores? vos. Neque enim poſſumus vulpes [1] appellare inimicos noſtros. Sed vincite vos amici, & exulemus, in nullum alium cauſam conijcientes, miſerrima licet quæque paſſuri.

[1] *alludit ad Ariſtidē, qui gēte alopecenſis erat. Alopex autē græcè eſt vulpes.*

Θεμιστοκλῆς Ἀνταγόρᾳ χαίρειν.

Ἐπηγγέλλεσθέ μοι πολλάκις ὦ Ἀνταγόρα σὺ καὶ Αὐτόλυκος, ῥᾳδίως ἡμᾶς τοῦ ἐξοστρακισμοῦ ἀπολύσειν· μαχεῖσθαι γὰρ τῷ ἐχθρῷ ἡμῶν Ἀριστείδῃ ἐλέγετε, καὶ περὶ τὰ ἐναντία τὸ πλῆθος ἢ ἐκεῖνος ἄγοι [1], καὶ ἤδη αὐτὸν ἧσσον φέρεσθαι, μὴ ἐθέλοντα ἀνεῖναι τῆς ἔχθρας. Ἀριστείδης ἡμῖν Ἀνταγόρας γέγονε, καὶ Ἀριστείδης Αὐτόλυκος. Καὶ οὐδενὸς ἂν κακῶν μετέχομεν, ὧν μέλλομέν τε, καὶ ἤδη μετέχειν [1], εἴπερ ἡμῖν [1] τοσοῦτοι, τρεῖς ἢ τέσσαρες ἐγένεσθε ἐν Ἀθήναις φίλοι, ὁποῖος Ἀριστείδης ἐχθρὸς ἐστί· μᾶλλον δὲ [1] εἰ καὶ ἐπείσθητε ἡμῶν τῷ ἐχθρῷ. Νῦν δὲ διὰ τίνας μᾶλλον ὦ Ἀνταγόρα φεύγομεν; δι' ὑμᾶς, οὐ γὰρ [1] διὰ τοὺς ἐχθρούς γε ἀλλοτρίῃ κατεχόμεθα ἀγγέλαι. ἀλλὰ νικήσατε ὦ φίλοι, καὶ φεύγωμεν οὐδένα οὐδαμοῦ ἀσπασάμενοι, καὶ εἰ τὰ οἴκτιστα πεισόμεθα.

[1] ἄγειν

[1] ἴσ. μετέχομεν

[1] ἴσ. ἡμῖν τοσοῦτοι τρεῖς ἢ τέσσαρες ἐγένεσθε ἐν Ἀθήναις

[1] ἴσ. ὡς

[1] ἴσ. οὐ γὰρ δὴ τοὺς ἐχθρούς γε ἀλώπεκας ἔχομεν ἀπαγγεῖλαι (τοῦτο δὲ τὸν ἀλωπεκῆθεν Ἀριστείδην)

Digitized by Google

Argumentum IX. Epiſtolæ.

PAuſaniæ Lacedæmonij proditione detecta Spartani ſemel atque iterum per Legatos ſolicitarunt Athenienſes, vt & ipſi ciuem ſuum Themiſtoclem quaſi proditionis ſocium, iam Oſtraciſmo fugatum, ſimili ſupplicio addicerent. Facile id impetrarunt Spartani contra hominem exulem, & multorum inuidia petitum. De hoc Athenienſium decreto Polygnotus admonuit Themiſtoclem. is per hanc epiſtolam gratias agit Polygnoto. Thucyd. Plutar. Diodor. Iuſtin.

Θεμιστοκλῆς Πολυγνώτῳ.

Φεύγομεν, ὥσπερ ἐκέλευες, κατὰ τάχος ὦ Πολύγνωτε. Καὶ ἐξελθόντες ἐξ Ἄργους ἐν θαλάσσῃ ἐσμέν· ὁ πλοῦς ἐπὶ Κέρκυραν ἡμῖν τέτακται, καὶ νεαλῆ ἔχοντες τὰ πλοῖα κατεχόμεθα. τὸν μὲν οὖν ἄγγελον τῆς σπουδῆς καὶ σὺ ἐπαινέσεις· ἀφεθεὶς γὰρ ἣ τὴν ἐκκλησίαν ἔλυσαν Ἀθηναῖοι, οὐ πόρρω τῆς ἑσπέρας ὥς φασιν οὔσης, [1] αὐτὴν νύκτα ἐκείνην, ἡμέρας δὲ ἐν ἀρχῇ μὲν δὲ μεσημβρίας ἤδη ἐφισταμένης; Δέος δὲ ἐστι, μὴ ἀνωφελῆ ἡμῖν τὴν σπουδὴν ἐπιμένων ὁ χειμὼν ποιήσῃ, ἢ καὶ βραδύτεροι τῶν ἀγγέλων οἱ φεύγοντες γενώμεθα. ἣν δὲ καὶ Λακεδαιμόνιοι τῆς φυγῆς αἴσθωνται, διώξει [2] χρώμενοι αὐτίκα αὐτοῖς ἀγαθὸς ἔσται ὁ Παυσανίας, ταυτὰ δὲ ἡμᾶς ἐργασόμενοι. Σοὶ μὲν οὖν ὦ Πολύγνωτε σω-ζό-

[1] ἴσ. μετὰ τὴν νύκτα

[2] ἴσ. διώξει χρώμενοι. αὐτίκα δ' αὐτοῖς, &c. ταυτὰ καὶ ἡμᾶς ἐργάσονται.

Themiſtocles Polygnoto.

